ΙΕΡΟΣ ΝΑΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

*ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ*

# ΑΓΙΑ ΑΙΚΑΤΕΡΙΝΗ

*ΤΗΝ ΠΑΝΣΟΦΟΝ ΚΑΙ ΝΥΜΦΗ ΤΟΥ ΧΡΙΣΤΟΥ*

Η ΜΝΗΜΗ ΑΥΤΗΣ ΤΕΛΕΙΤΑΙ ΤΗ ΚΕ΄ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ




ΛΑΡΙΣΑ 2019




# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ




*ΕΙΣ ΤΗΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ*

# ΑΓΙΑ ΑΙΚΑΤΕΡΙΝΗ

*ΤΗΝ ΠΑΝΣΟΦΟΝ ΚΑΙ ΝΥΜΦΗ ΤΟΥ ΧΡΙΣΤΟΥ*

***Η ΜΝΗΜΗ ΑΥΤΗΣ ΤΕΛΕΙΤΑΙ ΤΗ ΚΕ΄ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ.***

**Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.**

**Ὁ Ἀναγνώστης: Ἀμήν.**

Δόξα σοί, ὁ Θεός ἡμῶν, δόξα σοί. Βασιλεῦ Οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καί ζωῆς χορηγός, ἐλθέ καί σκήνωσον ἐν ἡμίν καί καθάρισον ἡμᾶς ἀπό πάσης κηλίδος καί σῶσον, Ἀγαθέ τάς ψυχᾶς ἡμῶν.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)

**Δόξα Πατρί..... Καί νῦν....**

Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἀμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Δόξα Πατρί..... Καί νῦν....**

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

## Ψαλμός ΡΜΒ`. 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τή ἀληθεία σου, εἰσάκουσόν μου ἐν τή δικαιοσύνη σού καί μή εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος και ἠκηδίασεν ἔπ ἐμέ τό

πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου μή ἀποστρέψης τό πρόσωπόν σου ἄπ ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν είς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοῖ ἤλπισα γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι προς σέ ἦρα τήν ψυχήν μού ἐξελού μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. Δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μού. Τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθεία. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ, ἐν τή δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

## Ευθύς εις ήχον δ'.

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος ἅ΄. **Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.**

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος β΄. **Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.**

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος γ΄. **Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.**

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

## Είτα το Τροπάριον. Ήχος δ'. Ο Υψωθείς εν τω Σταυρώ.

Τή πολυσόφῳ καί κλυτή Ἀθληφόρῳ, Αἰκατερίνη τή τοῦ Κτίσαντος νύμφη, προσέλθωμεν οἱ πάσχοντες βοῶντες ἐκ ψυχῆς. Μάρτυς ἀξιάγαστε, ἐξελού τούς σούς δούλους, τῆς παρούσης θλίψεως, καί μελλούσης ἀνάγκης. Σύ γάρ μεγίστην ἔχεις πρός Χριστόν, καί παρρησίαν, σεμνή καί οἰκείωσιν.

**Δόξα Πατρί..... Καί νῦν....**

## Θεοτοκίον.

Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σού σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Είτα τον Ν’ Ψαλμόν.

’Ελέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οίκτιρμῶν σου ἐξάλειψον τό άνόμημα μου επί πλεῖον πλῦνον μέ άπό τῆς άνομίας μου καί άπό τῆς ὰμαρτίας μοῦ καθάρισον μέ. Ὅτι τήν άνομίαν μου έγώ γινώσκω, καί ὴ ὰμαρτία μου ένώπιόν μου έστι διαπαντός. Σοί μόνω ἥμαρτον καί τό πονηρόν ένώπιόν σου έποίησα, ὅπως ἄν δικαιωθῇς έν τοῖς λόγοις σου, καί νικήσῃς έν τῷ κρίνεσθαι σέ. Ἰδού γάρ έν άνομίαις συνελήφθην, καί έν ὰμαρτίαις έκίσσησε μέ ὴ μήτηρ μου. Ἰδού γάρ άλήθειαν ήγάπησας, τά ἄδηλα καί τά κρύφια της σοφίας σου έδήλωσας μοί. Ραντιεῖς μέ ὺσσώπω, καί καθαρισθήσομαι, πλυνεῖς μέ, καί ὺπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοί άγαλλίασιν καί εύφροσύνην, άγαλλιάσονται όστέα τεταπεινωμένα. Ἀποστρεψον τό πρόσωπόν σου άπό τῶν ὰμαρτιῶν μου καί πάσας τάς άνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον έν έμοί, ὁ Θεός, καί πνεῦμα εύθές έγκαίνισον έν τοῖς έγκάτοις μου. Μή άπορρίψῃς μέ άπό τοῦ προσώπου σου καί τό πνεῦμά σου τό ἅγιον μή άντανέλῃς ἄπ έμοῦ. Ἀπόδος μοί τήν άγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι ήγεμονικῶ στήριξον μέ. Διδάξω άνόμους τάς ὁδούς σου, καί άσεβεῖς έπί σέ έπιστρέψουσι. Ρύσαι μέ έξ αὶμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου αγαλλιάσεται ὴ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου άνοίξεις, καί τό στόμα μου άναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εί ήθέλησας θυσίαν, ἔδωκα άν ολοκαυτώματα ούκ εύδοκήσεις. Θυσία τῷ Θεῶ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός ούκ έξουδενώσει. Ἀγάθυνον, Κύριε, έν τή εύδοκία σου τήν Σιῶν, καί οίκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εύδοκήσεις θυσίαν δικαιοσύνης, άναφοράν καί ὁλοκαυτώματα. Τότε άνοίσουσιν έπί τό θυσιαστήριον σού μόσχους.

**Εἶτα άρχόμεθα τοῦ Κανόνος. « Αίκατερίνης σωθείημεν πρεσβείαις. Ἀμήν».**

### Ὠδή ἅ΄. Ἦχος πλ. δ΄. Ὑγρᾶν διοδεύσας.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἀκήρατε νύμφη τοῦ Ἰησοῦ, προσχες ούρανόθεν, καί ένώτισαι τάς φωνᾶς, τῶν πίστει θερμή σοί προσιόντων, Αίκατερίνα καί δός τά αίτήματα.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἰλέω σου ὄμματι εὐμενῶς, ἴδε καλλιμάρτυς, τῆς ψυχῆς μου τήν συντριβήν, καί ὄρεξον χεῖρα βοηθείας, Αἰκατερίνα τῷ σοί ἀτενίζοντι.

**Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.**

Κενώσας ὀργίλως ὁ δυσμενής, τή ψυχή μου Κόρη, τήν πικρίαν τῶν ἡδονῶν, νεκρόν μέ κατέστησεν ἀθλίως, ἀλλ΄ ἐνιστάσα σύ Μάρτυς μέ ζώωσον.

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ἁγνείας ταμεῖον θεοειδές, καί δικαιοσύνης, πρυτανεῖον φωτολαμπές, Ἁγνή θεοχώρητε Παρθένε, ἁγίασόν μου καί σῶμα καί ἔννοιαν.

**Ὠδή γ΄. Σύ εἶ τό στερέωμα.**

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Τεῖχος ὀχυρώτατον, Αἰκατερίνα πανθαύμαστε, γενού ἡμίν, τοῖς προσδεχομένοις, τήν θερμήν σου ἀντίληψιν.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἔξαρον τήν θλίψιν μου, καί τήν πικρίαν τῶν πόνων μου, εἰς ἀληθῆ, χαρμονήν μετάθες, καί γλυκεῖαν ἀνάψυξιν.

**Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.**

Ρῶσιν πολυπόθητον, τοῖς ἀσθενέσι χορήγησον, νύμφη Χριστοῦ, καί τοῖς τεθλιμμένοις, τήν τερπνήν ἀγαλλίασιν.

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ιασιν καί λύτρωσιν, εὐλογημένη Πανάμωμε, δίδου ἡμίν, τοῖς ὑμνολογούσι, τῆς σῆς δόξης τό μέγεθος.

**Διάσωσον** Παρθενομάρτυς τοῦ ψόγου Αἰκατερίνα, ἐκ ποικίλων ἀρρωστημάτων καί θλίψεων, τούς ἐξαιτούντας τήν θείαν σου προστασίαν.

**Ἐπίβλεψον** ἐν εὐμενεία Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Εἶτα μνημονεύει ὁ Ἱερεύς, δί΄ οὓς ἡ παράκλησις γίνεται, καί ψάλλομεν τό, Κύριε ἐλέησον, ιέ΄.**

**Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.**

**Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.**

**Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (πόλῃ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.**

**Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοι τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

### Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Παρθένε σοφή, καί Ἀθληφόρε ἔνδοξε, καί νύμφη Χριστοῦ, Αἰκατερίνα πανσεμνέ, κακῶν τήν ἀπολύτρωσιν, καί παντοίων πταισμάτων τήν ἄφεσιν, καί τόν σόν νυμφίον δυσώπει παρασχεῖν, τοῖς πόθω γεραίρουσι τούς ἄθλους σου.

### Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Νοσημάτων ἀπάλλαξον, καί ὀδυνηρῶν συντριμμάτων ἀνόρθωσον, τούς προστρέχοντας τή σκέπη σου, ὤ Κατερίνα πολυδόξαστε.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἡ πρεσβεία σου γένοιτο, δρόσος θυμηδίας καί παρακλήσεως, τοῖς παλαιουσιν ἐν θλίψεσι, καί ἐταζομένοις δεινοῖς μάστιξοι.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Σεσωσμένους προσάγαγε, τῷ τερπνῶ νυμφίω σου Καλλιπάρθενε, τούς ἐκ χώρας παραβάσεων, τεταπεινωμένους ἐπανήκοντας.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Στεναγμοῖς τέ καί δάκρυσιν, ἐπικαμπτομένη τοῖς τῶν προσφύγων σου, τάς ὀδύνας τούτων κούφισον, ὤ Αἰκατερίνα τή σῆ χάριτι.

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ὡραιώθης κυήσασα, τόν ὡραῖον κάλλει Χριστόν, Πανάμωμε, ού καμού τοῖς ὡραιότησι, θέλξον πανολβίως τήν διάνοιαν.

**Ὠδή ε΄. Φώτισον ἡμᾶς**

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Θραῦσον τήν ἰσχύν τοῦ δολίου πολεμήτορος, τοῦ ἐπιτιθεμένου καθ΄ ἡμῶν, μανικῶς Αἰκατερίνα καλλιπάρθενε.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἔκχεον ἡμίν, πρεσβειῶν σου τήν χρηστότητα, καί ὑγίασον ἡμᾶς ὁλοτελῶς, τούς κατ΄ ἄμφω ἀσθενοῦντας σεμνοπάρθενε.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Ἴδοιμι σεμνή, ἐν καιρῶ τῶν περιστάσεων, τήν θερμήν σου καί ταχείαν ἀρωγήν, μεταβάλλουσαν τῶν πόνων τήν τραχύτητα.

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ἡ τόν ἀγαθόν, σωματώσασα δί΄ ἔλεος, τήν ἀθλίαν μου οἰκτείρησον ψυχήν, καί ἀγάθυνον αὐτήν θεοχαρίτωτε.

**Ὠδή στ΄. Ἱλάσθητι μοί Σωτήρ**

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Μαρτύρων περιφανές, ὡς ἀληθῶς σεμνολόγημα, Αἰκατερίνα σοφή, ἡμᾶς καθοδήγησον, πρός τρῖβον σωτήριον, θείων μαρτυρίων, τοῦ λαμπρῶς σέ μεγαλύναντος.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἐκ πλήθους ἁμαρτιῶν, είς πλῆθος θλίψεων ἔφθασα καί καταιγίδες κακῶν, νῦν περιδονούσι μέ, ἀλλά σύ προφθάσασα, ὤ Μεγαλομάρτυς, τῆς ὁρμῆς μέ λύτρωσαι.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Νεκρώσασα ἀληθῶς, ταῖς ζωηφόροις πρεσβείαις σου, σαρκός μου τάς ἐκτροπᾶς, τήν ψυχήν μου ζώωσον, καί ταύτην καρδίωσον, πρός ζωῆς ἀρίστης, ἀναβάσεις μεγαλώνυμε.

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

### Θεοτοκίον.

Ποικίλοις περισπασμοῖς, καί πειρασμοῖς περιπέπτωκα, τοῦ ψεύδους τάς ἀπαρχᾶς, ὁ τάλας δρεπόμενος, ἀλλ΄ ὦ Ἀειπάρθενε, σύ ἐπάκουσόν μου, καί εἰρήνευσον τόν βίον μου.

**Διάσωσον** Παρθενομάρτυς τοῦ ψόγου Αἰκατερίνα, ἐκ ποικίλων ἀρρωστημάτων καί θλίψεων, τούς ἐκζητούντας τήν θείαν σου προστασίαν.

**Ἄχραντε,** ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ΄ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

**Ὁ Ἱερεύς μνημονεύει ὡς δεδήλωται. Καί μετά τήν ἐκφώνησιν ψάλλεται.**

### Κοντάκιον. Ἦχος β΄. Εὐσπλαχνίας ὑπάρχουσα.

Εὐσπλαχνία χρωμένη ὦ σεμνή, εὐμενῶς τάς ἱκεσίας ἡμῶν ἐνωτίζου, ὄρεξον ἡμίν τήν σήν ἀντίληψιν, βλύσον τῶν χαρίτων σου τά ρεύματα, τοῖς σοί καταφεύγουσιν, ἐκ πόθου ἑκάστοτε, Αἰκατερίνα Μαρτύρων ἀγαλλίαμα.

### Προκείμενον.

Ὑπομένων ὑπέμεινα τόν Κύριον, καί προσέσχε μοί, καί εἰσήκουσε τῆς δεήσεώς μου.

**Στίχος.** Και έστησεν επί πέτραν τους πόδας μου, και κατηύθυνε τα διαβήματά μου.

**Ὁ Ἱερεύς:** **Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.**

**Ὁ χορός:** Κύριε, ἐλέησον (γ΄).

**Ὁ Ἱερεύς:** **Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**

**Ὁ Ἱερεύς:** **Εἰρήνη πᾶσι.**

**Ὁ χορός:** Καὶ τῷ πνεύματί σου.

**Ὁ Ἱερεύς:** **Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.**

**Ὁ χορός:** Δόξα σοι, Κύριε, δόξα σοι.

**Τὸ Εὐαγγέλιον Εκ του κατά Μάρκον. (Ε’. 4-34).**

**Τῷ καιρῶ ἐκείνω ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καί συνέθλιβον αὐτόν. Καί γυνή τίς, οὖσα ἐν ρύσει αἵματος ἔτη δώδεκα, καί πολλά παθοῦσα ὑπό πολλῶν ἰατρῶν, καί δαπανήσασα τά παρ΄ ἑαυτῆς πάντα, καί μηδέν ὠφεληθεῖσα, ἀλλά μᾶλλον εἰς τό χεῖρον ἐλθοῦσα, ἀκούσασα περί τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλω ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ, ἔλεγε γάρ. Ὅτι, καν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καί εὐθέως ἐξηράνθη ἡ πηγή τοῦ αἵματος αὐτῆς, καί ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπό τῆς μάστιγος. Καί εὐθέως ὁ Ἰησοῦς ἐπιγνούς ἐν ἑαυτῶ τήν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεῖς ἐν τῷ ὄχλω ἔλεγε: Τίς μου ἥψατο τῶν ἱματίων; Καί ἔλεγον αὐτῶ οἱ μαθηταί αὐτοῦ. Βλέπεις τόν ὄχλον συνθλίβοντα σέ, καί λέγεις, τίς μου ἥψατο; Καί περιεβλέπετο ἰδεῖν τήν τοῦτο ποιήσασαν. Ἡ δέ γυνή, φοβηθεῖσα καί τρέμουσα, εἰδυία ὅ γέγονεν ἐπ΄ αὐτή, ἦλθε, καί προσέπεσεν αὐτῶ, καί εἶπεν αὐτῶ πάσαν τήν ἀλήθειαν. Ὁ δέ εἶπεν αὐτή. Θύγατερ, ἡ πίστις σου σέσωκε σέ, ὕπαγε εἰς εἰρήνην, καί ἴσθι ὑγιής ἀπό τῆς μάστιγός σου.**

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Ταῖς τῆς Ἀθληφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι...**

Μάρτυς καλλιπάρθενε, Αἰκατερίνα Θεοφρον, ἄνθος καθαρότητος καί σοφίας ὄργανον, παναρμόνιον, τῶν δεινῶν ρύσαι μέ, καί σκολιωτάτην, σοφισμάτων τοῦ ἀλάστορος, καί ἐν σεμνότητι, καί δικαιοσύνη πορεύεσθαι, ἀξίωσον μέ δέομαι, ἐν τῷ βίω τούτω τῷ ρέοντι, ὡς ἄν θεαρέστως, βιώσας τῶν ἀγήρων ἀγαθῶν, μέτοχος γένωμαι ἔνδοξε, τή θερμή δεήσει σου.

**Ὁ Ἱερεύς· Σῶσον, ὁ Θεός, τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου· ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καί καταπεμψον ἐφ΄ ἡμᾶς τά ἐλέη σου τά πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυρού, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ἱκεσίαις τοῦ Τιμίου καί**

**Ἐνδόξου Προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων. Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμμονος, πατριαρχῶν Ἀλεξανδρείας. Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τύρωνος καί Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης. Τῆς Ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης τής πανσόφου, καί πάντων σου τῶν Ἁγίων. Ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καί ἐλέησον ἡμᾶς.**

**Ὁ χορός:** Κύριε, ἐλέησον (ιβ΄).

**Ὁ Ἱερεύς:** **Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ὁ χορός:** Ἀμήν.

## Ὠδή Ζ΄. Παῖδες Ἑβραίων.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ρείθροις πηγῶν ἐκ σωτηρίου, καταπρά΄υ΄νον παθῶν μου τάς καμίνους, καί πρός ὕδωρ τερπνόν, ζωῆς καί ἀπαθείας, Αἰκατερίνα πάνσοφε, ἴθυνον μέ ταῖς εὐχαίς σου.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἔχουσα Μάρτυς παρρησίαν, τῷ νυμφίω σου Χριστῷ τῷ Ζωοδότη, μή ἐλλίπης ἀεί, θερμῶς καθικετεύειν, Αἰκατερίνα πάνσοφε, ὑπέρ τῶν σοΐ προσιόντων.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Σύναψον Μάρτυς τή ἀγάπη, καί ἁπλότητι καί τή φιλαδελφία, τούς τήν σήν εὐλαβῶς, αἰτοῦντας μεσιτείαν, καί τῶν σκανδάλων κόπασον, ἅπασαν ὀχλαγωγίαν.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Βλέμματι Μάρτυς φιλευσπλάχνω, κατοικτείρησον ἡμᾶς χειμαζομένους, καί εἰρήνην στερρᾶν, καί ψυχικήν γαλήνην, Αἰκατερίνα βράβευσον, ῖς πιστῶς σέ εὐφημοῦσι.

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

### Θεοτοκίον.

Ἔλαιον θείων οἰκτιρμῶν σου, καί χρηστότητος τόν γλυκερόν χειμάρρουν, τοῖς ἐν πόνοις πολλοῖς, δεινῶς ὀδυνωμένοις, ἐπόμβρησον Πανάμωμε, ὡς κρουνός τῆς εὐσπλαχνίας.

### Ὠδή Η΄. Τόν Βασιλέα.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἰσχύν καί ρώμην, κατά παθῶν ὀλεθρίων, τή πρεσβεία σου Αἰκατερίνα δίδου, τοῖς ὑπερυψούσι, τόν σέ ἐνισχυκότα.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἄνωθεν σκέπεις, τούς ἀτενίζοντας Μάρτυς, πρός τήν ἔνθερμον καί κραταιάν σου σκέπην, τούτους λυτρουμένη, πολυειδῶν κινδύνων.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Ἵλεων Μάρτυς, καί εὐμενῆ τοῖς σοῖς δούλοις, τόν νυμφίον σου θές ὤ Ἀθληφόρε, ὡς πολλά πρός τοῦτον, ἰσχύουσα θεοφρον.

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

### Θεοτοκίον.

Σωτηριώδη καταφυγήν εὖ εἰδῶς σέ, τήν ἐλπίδα μου τῆς σωτηρίας Κόρη, τή σή δυναστεία, ἀνέθηκα είς τέλος.

### Ὠδή Θ΄. Κυρίως Θεοτόκον.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Ἀγγέλων συμπολίτις, Αἰκατερίνα οὖσα, μή διαλίπης ἡμᾶς ἐποπτεύουσα, τούς ἀκλινεῖ διανοία σοί προσανέχοντας.

**Ἁγία του Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.**

Μαστίγων ψυχοφθόρων, καί πάσης ἐπηρείας, ἀμεταπτώτους ἡμᾶς διαφύλαττε, Αἰκατερίνα Θεοφρον ἀξιοθαύμαστε.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

Ἡλίου τοῦ ἀδύτου, τήν αἴγλην δεχομένη, Αἰκατερίνα Παρθένων

ὡράϊσμα, τήν τῆς ψυχῆς μου σκοτόμαιναν ἀποδίωξον.

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

### Θεοτοκίον.

Ναόν μέ φωτοφόρον, τῆς θείας ἐπιπνοίας, δί΄ ἐναρέτου ζωῆς Κόρη ἔργασαι, τόν ἀληθῆ Θεοτόκον ὁμολογοῦντα σέ.

### Καί εὐθύς ψάλλομεν τό·

**Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.**

**Χαίροις Ὀρθοδόξων ἡ καλλονή, χαίροις διωχθέντων, καταφύγιον ἰσχυρόν, χαίροις τῶν ἐν θλίψει, καί τῶν ἐν ἐξορία, Προκόπιε Θεοφρον, τό παραμύθιον.**

**Ὁ Ἱερεύς θυμιά καί ἡμεῖς ψάλλομεν τά παρόντα μεγαλυνάρια.**

### Καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαῖρε τῆς σοφίας μύστις λαμπρά, καί τῆς εὐσεβείας δημηγόρος περιφανής. Χαίροις παρθενίας, ἡ εὔπνους μυροθήκη, Αἰκατερίνα Μάρτυς, ἀξιοθαύμαστε.

Σώματος ἐμπρέπουσα καλλονή, καλή καί ὡραία, ἀναδείχθης καί τήν ψυχήν, τῷ ὡραίω κάλλει, ὑπέρ υἱούς ἀνθρώπων, καί τούτω ἐνυμφεύθης ἀφθόρως ἔνδοξε.

Χαίροις καλλιπάρθενε εὐκλεής,χαίροις τῶν Παρθένων, καί Μαρτύρων ἡ κορωνίς. Χαίροις τοῦ Σωτῆρος, ἡ πανολβία νύμφη, σεμνή Αἰκατερίνα ἡμῶν βοήθεια.

Τῆς Ἀλεξανδρείας ὤφθης βλαστός, καί Σιναίου ὄρους, ἀντιλήπτωρ καί ἀρωγή, καί πάσης Ἐκκλησίας, λαμπάς τηλαυγεστάτη, Αἰκατερίνα ἄνθος ἀγνείας εὔοσμον.

Πρόσωπον πρός πρόσωπον τόν Χριστόν, ἀγλαῶς ὁρώσα, τόν νυμφίον σου τόν σεπτόν, αὐτόν ἐκδυσώπει, σοφή Αἰκατερίνα, ἡμίν παρασχεθῆναι, πταισμάτων ἄφεσιν.

Σκέπη καί ἀντίληψις καί φρουρός, ἔσο Ἀθληφόρε, τοῖς τιμῶσι σέ εὐλαβῶς, νόσων καί κινδύνων, καί πάσης ἄλλης βλάβης, ἡμᾶς

ἐκρυομένη, ταῖς ἱκεσίαις σου.

Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

**Τό Τρισάγιον.** Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

**Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.**

**Καί νῦν καί ἀεί καί είς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.**

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἀγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς είς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

**Ὁ Ἱερεύς: Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία ............**

**Ὁ χορός:** Ἀμήν.

## Ἀπολυτίκιον. Ἦχος πλ. α`. Τον Συνάναρχον Λόγον.

Τήν Πανεύφημον νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερίναν τήν θείαν καί πολιοῦχον Σινά, τήν βοήθειαν ἡμῶν καί ἀντίληψιν, ὅτι ἐφίμωσε λαμπρῶς, τούς κομψούς τῶν ἀσεβῶν του Πνεύματος τή δυνάμει. Καί νῦν ὡς Μάρτυς στεφθεῖσα, αἰτεῖται πάσι τό μέγα ἔλεος.

**Εἶτα μνημονεύει καὶ πάλιν ὁ ἱερεύς, δι΄ οὓς ἡ παράκλησις γίνεται, καὶ ἡμεῖς μεθ΄ ἑκάστην αἴτησιν ψάλλομεν τὸ Κύριε ἐλέησον (γ΄).**

**Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.**

**Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.**

**Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (πόλῃ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.**

**Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).**

**Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ΄ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.**

**Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.**

**Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοι τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Ὁ χορός:** Ἀμήν.

### Καὶ ὁ ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν·

**Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.**

**Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου ..........**

### Καὶ ψάλλομεν τὰ ἑξῆς·

### Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Μάρτυς καλλιπάρθενε Χριστοῦ, νύμφη εὐκλεής του Σωτῆρος, Αἰκατερίνα σοφή, σῶζε τούς ἱκέτας σου, ἐκ πάσης θλίψεως, καί δεινῶν περιστάσεων, καί νόσων καί πόνων, καί πάσης φαυλότητος τοῦ κοσμοκράτορος. Σού γάρ ἡ πρεσβεία μεγίστην, κέκτηται ἰσχύν Ἀθληφόρε. Μή οὖν ὑπερίδης τούς τιμῶντας σέ.

### Ἦχος πλ. δ΄.

**Δέσποινα**, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

### Ἦχος β’.

**Τὴν πᾶσαν** ἐλπίδα μου είς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Ὁ Ἱερεύς: Δί΄ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον και σῶσον ἡμᾶς.**

**Ὁ λαός:** Ἀμήν.




2019
3
ΑΗ-ΓΙΩΡΓΙΤΙΚΑ
Ο ΑΓΙΟΣ
ΓΕΩΡΓΙΟΣ
Ο Τροπαιοφόρος
ΙΕΡΟΣ ΝΑΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ ΛΑΡΙΣΗΣ
2017
1